γεγονός, ἐπεὶ σχισθήσεται ἀφ' ἡμῶν τό τε ἅγιον Ὄρος καὶ τὰ Πατριαρχεῖα μαθόντα τὸ οὐκ ὀρθῶς γεγονός, ἀλλὰ καὶ πᾶς θέλων εἶναι χριστιανὸς ὀρθόδοξος". Ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τοῦ Μονάχου ὑπ' ἀριθμὸν 256. Ἐν τῷ αὐτῷ χειρογράφῳ ὑπάρχει καὶ ἕτερον σύγγραμμα τοῦ Θεοφάνους „ΣΥΝΤΑΓΜΑ" ἐπιγραφόμενον, ἐν ᾧ διέλαβε περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ περὶ ἀζύμων. Ταῦτα τὰ δύο συγγράμματα ἔπεμψεν ὁ Θεοφάνης πρὸς τὸν Ἐφέσου Μάρκον, ἐν Κωνσταντινουπόλει τότε τὰς διατριβὰς ποιούμενον, ἵνα προσκομίσῃ τῷ βασιλεῖ, εἰ ὀρθὰ φανῶσιν αὐτῷ τὰ γραφέντα· ὁ δὲ Μάρκος, καίπερ ἐπαίνων ἄξια κρίνας τὰ γραφέντα, οὐκ ἐπέδωκε τῷ βασιλεῖ, ἀλλ' ἔγραψε πρὸς τὸν Θεοφάνην ἐπιστολήν, ἥτις ἔχει οὕτω.

„Τιμιώτατε ἐν ἱερομονάχοις καὶ ἐμοὶ ἐν Χριστῷ ποθεινότατε καὶ αἰδεσιμώτατε πάτερ καὶ ἀδελφέ, τοῦ Θεοῦ δέομαι ὑγιαίνειν τὴν σὴν ἁγιότητα καὶ σωματικῶς, ἧς ἁγίαις εὐχαῖς ὑγιαίνω καὶ αὐτὸς ἐλέει Θεοῦ μετρίως τῷ σώματι. Τὴν γραφὴν τῆς ἁγιωσύνης σου δεξάμενος παραμυθίαν οὐ μικρὰν ἔσχον ἐπὶ τοῖς καταλαβοῦσι σκυθρωποῖς· ὅτι οἱ τιμηθέντες καὶ ὑψωθέντες ὑπὲρ ἀξίαν ὑπὸ τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἠτίμασαν αὐτὴν καὶ ἠχρείωσαν, τοῖς ἐκ πολλῶν χρόνων ἀποκεκομμένοις καὶ σεσηπομένοις καὶ μυρίοις ἀναθέμασιν ὑποκειμένοις αὐτὴν καταμίξαντες, καὶ διὰ τῆς πρὸς αὐτοὺς κοινωνίας τὴν ἄσπιλον τοῦ Χριστοῦ νύμφην σπιλώσαντες. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τῶν προλαβόντων, ἵνα τὴν παρ' αὐτῶν γενομένην καινοτομίαν κυρώσωσι, προστάτην ἑαυτοῖς εἵλοντο, μᾶλλον δὲ μισθωτὸν καὶ οὐχὶ ποιμένα, λύκον οὐχὶ νομέα, ὃν μάλιστα δύνανται ἄγειν καὶ φέρειν, καὶ δι' οὗ νομίζουσι τὸ πονηρὸν δόγμα τοῦ λατινικοῦ ταῖς ἁπάντων ἐγκαταστήσειν ψυχαῖς· τάχα δὲ καὶ διωγμὸν κινήσουσι κατὰ τῶν φοβουμένων τὸν Κύριον, ἐπεὶ μηδενὶ τρόπῳ τὴν πρὸς αὐτοὺς καταδέχονται κοινωνίαν. Ἐν τούτοις οὖσιν ἡμῖν, ἐπεδόθη τὰ γράμματα τῆς σῆς ἁγιότητος, πολλὴν τὴν παράκλησιν ἐμποιοῦντα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ